λαῶν πολλῶν καὶ ἀνάξω σε ἐν τῷ ἀγκίστρῳ μου [4]καὶ ἐκτενῶ σε 4
ἐπὶ τὴν γῆν, πεδία πλησθήσεταί σου, καὶ ἐπικαθιῶ ἐπὶ σὲ πάντα
τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἐμπλήσω ἐκ σοῦ πάντα τὰ θηρία
πάσης τῆς γῆς· [5]καὶ δώσω τὰς σάρκας σου ἐπὶ τὰ ὄρη καὶ ἐμ- 5
πλήσω ἀπὸ τοῦ αἵματός σου, [6]καὶ ποτισθήσεται ἡ γῆ ἀπὸ τῶν 6
προχωρημάτων σου ἀπὸ τοῦ πλήθους σου ἐπὶ τῶν ὀρέων, φάραγ-
γας ἐμπλήσω ἀπὸ σοῦ. [7]καὶ κατακαλύψω ἐν τῷ σβεσθῆναί σε 7
οὐρανὸν καὶ συσκοτάσω τὰ ἄστρα αὐτοῦ, ἥλιον ἐν νεφέλῃ καλύψω,
καὶ σελήνη οὐ μὴ φάνῃ τὸ φῶς αὐτῆς· [8]πάντα τὰ φαίνοντα φῶς 8
ἐν τῷ οὐρανῷ συσκοτάσουσιν ἐπὶ σέ, καὶ δώσω σκότος ἐπὶ τὴν
γῆν σου, λέγει κύριος κύριος. [9]καὶ παροργιῶ καρδίαν λαῶν πολ- 9
λῶν, ἡνίκα ἂν ἄγω αἰχμαλωσίαν σου εἰς τὰ ἔθνη εἰς γῆν, ἣν οὐκ
ἔγνως. [10]καὶ στυγνάσουσιν ἐπὶ σὲ ἔθνη πολλά, καὶ οἱ βασιλεῖς 10
αὐτῶν ἐκστάσει ἐκστήσονται ἐν τῷ πέτασθαι τὴν ῥομφαίαν μου
ἐπὶ πρόσωπα αὐτῶν, προσδεχόμενοι τὴν πτῶσιν αὐτῶν ἀφ' ἡμέρας
πτώσεώς σου. [11]ὅτι τάδε λέγει κύριος Ῥομφαία βασιλέως Βαβυ- 11
λῶνος ἥξει σοι [12]ἐν μαχαίραις γιγάντων, καὶ καταβαλῶ τὴν ἰσχύν 12
σου· λοιμοὶ ἀπὸ ἐθνῶν πάντες, καὶ ἀπολοῦσι τὴν ὕβριν Αἰγύπτου,
καὶ συντριβήσεται πᾶσα ἡ ἰσχὺς αὐτῆς. [13]καὶ ἀπολῶ πάντα τὰ 13
κτήνη αὐτῆς ἀφ' ὕδατος πολλοῦ, καὶ οὐ μὴ ταράξῃ αὐτὸ ἔτι ποὺς
ἀνθρώπου, καὶ ἴχνος κτηνῶν οὐ μὴ καταπατήσῃ αὐτό. [14]οὕτως 14
τότε ἡσυχάσει τὰ ὕδατα αὐτῶν, καὶ οἱ ποταμοὶ αὐτῶν ὡς ἔλαιον
πορεύσονται, λέγει κύριος. [15]ὅταν δῶ Αἴγυπτον εἰς ἀπώλειαν καὶ 15
ἐρημωθῇ ἡ γῆ σὺν τῇ πληρώσει αὐτῆς, ὅταν διασπείρω πάντας
τοὺς κατοικοῦντας ἐν αὐτῇ, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος.
[16]θρῆνός ἐστιν καὶ θρηνήσεις αὐτόν, καὶ αἱ θυγατέρες τῶν ἐθνῶν 16
θρηνήσουσιν αὐτόν· ἐπ' Αἴγυπτον καὶ ἐπὶ πᾶσαν τὴν ἰσχὺν αὐτῆς
θρηνήσουσιν αὐτήν, λέγει κύριος κύριος.

[17]Καὶ ἐγενήθη ἐν τῷ δωδεκάτῳ ἔτει τοῦ πρώτου μηνὸς πεντε- 17

3 λαων B†] pr. εν(pr. και A) εκκλησια rel. (in *O* sub ※) || 4 του ουρ. et εκ σου > B† || 5 fin.] + πασαν την(> A†) γην A*C*, + τα πεδια *L* || 6 προχωρ.] προ > A† | απο 2°] pr. και A || 7 τα αστρα αυτου] τους αστερας του ουρανου A pau. | σεληνη] pr. η A | ου μη φανη] ου δωσει A† || 8 init.] pr. και A | την γην σου] σου > B*pau., σε *C*† | κυριος κυριος] + ο θεος A: cf. 14 6 || 9 αγω] αγαγω A^c: cf. 14 15 | γην] pr. την A || 10 πολλα > A† | πετασθηναι A: cf. Thack. p. 221 | την paenult. > A | προσωπον A || 11 κυριος B*pau.] pr. αδωναι A: cf. 3; pr. κυριος B^c*C*: cf. 2 4 || 13 τα > B† | ετι / πους ανθρ.] tr. B = 𝔐, ετι > Q | κτηνων] -νους A || 14 κυριος B pau.] pr. αδωναι rel.: cf. 3 || 16 θρηνησεις] -σουσιν A || 17 του πρωτου μηνος] τω πρωτω μηνι *L*; εν τω πρωτω μηνι A: haec Origenes in Hexaplis obelo notauit, in commentariis omisit, cf. Q^mg εν τη των ο' εκδοσει ουτω φερεται »και εγενετο εν τω δωδεκατω ετει εν τω πρωτω μηνι πεντεκαιδεκατη του μηνος«· το δε »εν τω πρωτω μηνι« οβελισθεν περιειλεν ωριγενης. ταυτα δε κατα λεξιν ειπεν εν τω ιθ' τομω των εις τον ιεζεκιηλ εξηγητικων Εοικεν η προ-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/831 UNIVERSITÄT LEIPZIG